Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

Caput XIII. De Silvano & Ioanne aliisq[ue] unde quadraginta martyribus.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

## Caput XIII.

*De Silvano & Ioanne aliisq; unde quadraginta martyribus.*

A Ἕβδομον ἔτος τοῦ καθ᾽ ἡμῶν ἀγῶνος ἠνύετο. καί πως ἠρέμα τῶν καθ᾽ ἡμᾶς ἡσυχῇ τὸ ἀπερίεργον εἰληφότων, εἰς ὄγδοόν τε διαγομένων ἔτος, ἀμφὶ τὰ ἐν Παλαιστίνῃ χαλκοῦ μέταλλα οὐκ ὀλίγης ὁμολογητῶν συγκεκροτημένης πληθύος, πολλῇ τε τῇ παρρησίᾳ χρωμένων, ὡς καὶ οἴκους εἰς ἐκκλησίας δείμασθαι. ὁ τῆς ἐπαρχίας ἄρχων δεινός τις ὢν καὶ πονηρὸς, καὶ οἷον αὐτὸν τὰ κατὰ τῶν μαρτύρων δρασθέντα συνέστησεν, ἐπιδημήσας αὐτόθι καὶ τὴν τῶν ἐκεῖσε διαγωγὴν πυθόμενος, βασιλεῖ κοινοῦται ὅσα δοκεῖν εἰς διαβολὴν καταγράφων· εἶτ᾽ ἐπιστὰς ὁ τοῖς μετάλλοις ἐπιτεταγμένος, B ὡς ἂν ἐκ βασιλικοῦ νεύματος διελὼν τὴν τῶν ὁμολογητῶν πληθὺν, τοῖς μὲν Κύπρον, τοῖς δὲ τὸν Λίβανον οἰκεῖν ἔνειμεν· ἄλλους τε ἄλλαις κατὰ Παλαιστίνην χώραις καταπείρας, τοὺς πάντας διαφόροις πονεῖσθαι τισὶν ἔργοις ἐπικελεύεται· εἶτα τέσσαρας τοὺς μάλιστα δοκοῦντας αὐτῶν κορυφαίους ἐπιλεξάμενος, ἐπὶ τὸν ἐφεστῶτα τοῖς αὐτόθι στρατεύμασι παραπέμπεται· Πηλεὺς ἦν καὶ Νεῖλος Ἐπίσκοποι Αἰγυπτίων, καὶ πρεσβύτερος ἄλλος. καὶ ἐπὶ τούτοις ὁ τοῖς πᾶσι διὰ τὴν περὶ πάντας σπουδὴν γνωριμώτατος Πατερμούθιος· C οὓς ὁ στρατοπεδάρχης, ἄρνησιν τῆς θεοσεβείας αἰτήσας καὶ μὴ τυχὼν, τῇ διὰ πυρὸς τελειώσει παραδίδωσιν. ἄλλοι δ᾽ αὖ πάλιν ἐτύγχανον ἐκεῖσε ἐφ᾽ ἑαυτοῖς ἰδίαν χώραν οἰκεῖν λαχόντες, ὅσοι τῶν ὁμολογητῶν ἤτοι διὰ γῆρας, ἢ διὰ πηρώσεις, ἢ ἄλλας σωμάτων ἀσθενείας, τῆς ἐν τοῖς ἔργοις ἀπολέλυντο λειτουργίας. ὧν ἡγεῖτο ἐκ τῆς Γαζαίων Ἐπίσκοπος ὁρμώμενος Σιλβανὸς, εὐλαβές τι χρῆμα D καὶ γνήσιον ὑπόδειγμα χριστιανισμοῦ φέρων. οὗτος δὴ ὡς εἰπεῖν ἀπὸ τῆς πρώτης ἡμέρας τοῦ διωγμοῦ καὶ διὰ παντὸς τοῦ χρόνου παντοίοις ἀγῶσιν ὁμολογιῶν διαπρέψας, εἰς ἐκεῖνο τοῦ καιροῦ τετήρητο, ὡς ἂν ὕστατον γένοιτο παντὸς τοῦ κατὰ Παλαιστίνην ἀγῶνος ἐπισφράγισμα. τούτῳ δὲ καὶ τῶν ἀπ᾽ Αἰγύπτου συνῆσαν πλείους. ἐν οἷς ἦν Ἰωάννης, ὃς τῇ περὶ μνήμας ἀρετῇ τοὺς καθ᾽ ἡμᾶς ὑπερεβάλετο πάντας. τῶν μὲν οὖν ὄψεων καὶ πρότερον οὗτος ἐστέρητο. ὅμως

Septimus jam persecutionis annus ad exitum vergebat, & res nostræ sensim sine sensu calumniantium molestiâ liberatæ, ad octavum usq; annum processerant. Cùmque in metallis æris apud Palæstinam maxima Confessorum multitudo in unum congregata, incredibili libertate frueretur, adeo ut Ecclesias etiam exstruerent: Præses provinciæ, vir sævus atq; improbus ut ex iis quę adversus martyres gessit perspici facilè potest, illuc delatus; audita illorum vivendi ratione, rem statim ad Imperatorem retulit, quæcumq; ipsi visum fuerat calumniosè in eos scribens. Dehinc Præpositus metallorum eò adveniens, velut ex Imperiali præcepto Confessores varias in turmas distribuit; & alios quidem apud Cyprum, alios in Libano jussit incolere. Reliquos per varia Palæstinæ loca dispersos, diversorum operum molestiis vexari omnes mandavit. Quatuor deinde ex illis seligens qui ceteris antecellere videbantur, ad Ducem qui militaribus copiis illic præerat, eos mittit. Horum duo erant Ægyptiorum Episcopi, Peleus ac Nilus: tertius Presbyter quidam: quartus fuit Patermuthius, vir ob prolixam erga omnes benevolentiam cunctis notissimus. A quibus cùm Dux ille postulavisset, ut religionem suam abnegarent; repulsam passus, flammis eos absumi præcepit. Alii rursus ibidem versabantur, sejunctam à ceteris regionem seorsum incolendam sortiti; quotquot scilicet ex Confessoribus ob senectutem aut membrorum debilitatem, aut propter varios corporis morbos ab opere faciundo immunes erant. Quorum princeps erat Silvanus, Gazâ oriundus Episcopus, vir qui religionis Christianæ absolutissimum quoddam & venerabile exemplum exstitit. Hic cùm à primo, ut ita dicam, persecutionis die, & per totum deinceps illud tempus, variis confessionum certaminibus inclaruisset, ad id usq; temporis servatus fuerat, ut omne illud in Palæstina certamen postremus quasi signaculo clauderet. Erant unà cum illo Ægyptii complures: inter quos fuit Joannes quidam, qui præ cunctis nostræ ætatis hominibus memoriâ valuit. Et hic quidem jam antea luminibus erat orbatus. Nihilo-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

minus tamen in confessionum certaminibus in quibus maximè enituit, cùm ipsi perinde ac ceteris alter pedum candente ferro debilitatus esset, oculi quoque licet lumine orbati, cauterio perusti sunt; crudelitate scilicet & inhumanitate carnificum ad id usque feritatis ac diritatis progressâ. Porrò hunc virum ob mores quidem & Philosophicam vivendi rationem nihil attinet prædicare, præsertim cùm hujus rei causâ non tantum admirationis sit consecutus, quantum ex memoriæ præstantia. Quippe qui totos divinæ Scripturæ libros non in tabulis lapideis, quemadmodum ait divinus Apostolus, nec in membranis animalium, aut chartis quæ vermibus & longinquitate temporis consumuntur, verùm in carneis cordis tabulis, in anima scilicet candida & in purissimo mentis lumine perscriptos habuerit. Adeò ut quoties vellet, interdum legis Mosaïcæ, interdum Prophetarum libros; nonnunquam sacræ Historiæ locos; aliàs Evangelica & Apostolorum Scripta memoriter velut ex literario quodam penu proferret. Fateor certè obstupuisse me, cùm illum in frequentissimo Ecclesiæ cœtu medium stantem, & quosdam divinæ Scripturæ locos recitantem primitùs vidi. Etenim quandiu quidem vocem duntaxat hominis audire mihi dabatur, quædam illum, ut in Ecclesiastico cœtu moris est, legere existimabam. Verùm ubi proximè accedens id quod res erat deprehendi, ceteros quidem qui in circuitu astabant integra oculorum acie pollere, illum verò solis intelligentiæ oculis præditum instar Prophetæ cujusdam oracula edere, & reliquis corpore valentioribus multò præstare; facere omninò non potui, quin Deum summis laudibus efferrem ac prædicarem. Et evidens ac certissimum argumentum reapse mihi cernere videbar, quo constaret hominem verè esse, non eum qui in externa corporis specie apparet, sed illum potius qui in animo & intelligentia residet. Quippe corpore licet mutilato, nihilominus majorem facultatis suæ vim ac virtutem exerebat. Porrò supradictos viros qui seorsum degentes orationibus & jejuniis & hujuscemodi exercitationibus more solito incumbebant, Deus quidem beato ac salutari exitu donare jam parabat, adjutricem illis porrigens manum. Verùm hostis ille & bonorum omnium inimicus, cùm eos semper armatos assiduis ad Deum

A δὲ καὶ ἐφ' αἷς διέπρεψεν ὁμολογίαις ὁμοί-
τοῖς ἄλλοις καυτῆρσιν ἀφανισθεὶς τὸν πό-
κατὰ τὸ μὴ ἐνεργέσης ὁράσεως τὸν αὐτὸν τρό-
πον καυτῆρα εἰλήφει. τῶν δημίων ἐπὶ τοσοῦ-
λέες καὶ ἀσυμπαθὲς, τὸ τοῦ τρόπου ὠμὸν καὶ ἀπάν-
θρωπον ἐπιτεινόντων. τοιοῦτον δὴ ὄντα, τὸ
μὲν καὶ βίου φιλοσόφου τί ἄν τις ἀποθαυμά-
σειεν. οὐχ οὕτως ἀναφανέντος παραδόξου, ὡς
ἐν μνήμαις ἀρετῆς ὅλας βίβλους τῶν θείων
γραφῶν οὐκ ἐν πλαξὶ λιθίναις ἤ φησιν ὁ θεῖος
Ἀπόστολος. ἀλλ' οὐδὲ ἐν ζώων δοραῖς ἢ χάρ-
ταις, ὑπὸ σητῶν καὶ χρόνου διαφθειρομέναις
B ἀλλ' ἐν πλαξὶν ὡς ἀληθῶς καρδίας σαρκί-
ναις, ψυχῇ τε διαυγεῖ καὶ καθαρωτάτῳ δια-
νοίας ὄμματι καταγεγραμμένας. ὡς προφέ-
ρειν γε ὅτε καὶ βούλοιτο διὰ στόματος ὥσπερ ἔκ
τινος λόγων θησαυροῦ, τοτὲ μὲν νομικὴν καὶ προ-
φητικὴν γραφὴν, τοτὲ δὲ ἱστορικὴν, Εὐαγγελικήν
τε ἄλλοτε καὶ Ἀποστολικήν. καταπλαγῆναί
ποτε αὐτὸς ὁμολογῶ, πρῶτον τὸν ἄνδρα θεα-
σάμενος μέσον ἱκανοῦ πλήθους ἐκκλησίας ἑ-
στῶτα, καί τινα μέρη θείας γραφῆς διεξιόντα.
ἕως μὲν γὰρ φωνῆς αὐτὸ μόνον ἐπακροᾶσθαι
μοι παρῆν, ἀναγινώσκειν οἷα δὴ ἔθος ἐν ταῖς
C συνόδοις, τινὰ ἡγούμην. ὡς δὲ ἄγχιστα γενόμε-
νος τὸ πραττόμενον συνεῖδον, τοὺς μὲν ἄλλους
ἅπαντας ὑγιέσιν ὀφθαλμοῖς ἐν κύκλῳ περιε-
στῶτας. τοῦτον δὲ μόνοις τοῖς τῆς διανοίας χρώ-
μενον, καὶ ἀτεχνῶς οἷά τινα Προφήτην ἀπο-
φθεγγόμενον, παρὰ πολύ τε πλεονεκτοῦντα τῶν
τὸ σῶμα ἐρρωμένους. οὐκ οἶδ' ὅπως οὖν δοξά-
ζειν τὸν Θεὸν καὶ ἀποθαυμάζειν οἷός τε ἦν. σα-
φές τε πεῖσμα καὶ βέβαιον αὐτοῖς ἔργοις ἐδό-
κουν μοι ὁρᾶν, ὅτι δὴ μόνος κατ' ἀλήθειαν οὐχ
ὁ ἐν τῷ προφανεῖ σώματι νενομισμένος πέ-
D φυκεν ἄνθρωπος, ἀλλ' ὁ κατὰ ψυχὴν καὶ διά-
νοιαν. ὃς καὶ τοῦ σώματος λελωβημένου, μεί-
ζονα τὴν ἀρετὴν τῆς καθ' αὐτὸν δυνάμεως
ἐπεδείκνυτο. ἀλλὰ γὰρ τοὺς δεδηλωμένους κατὰ
τὸν ἀποκεκριθέντα τόπον διατρίβοντας, τὰ
συνήθη προσευχαῖς καὶ ἀσιτίαις καὶ ταῖς
λοιπαῖς ἀποτελοῦντας ἀσκήσεσι, Θεὸς μὲν
αὐτὸς τῆς σωτηρίας τελειώσεως τυχεῖν ἠξίου,
δεξιὰν αὐτοῖς ἐπήκοον παρέχων· ὁ δὲ πολέ-
μιος ἐχθρὸς ἅτε χαλεπώτατα κατ' αὐτῶν δια-

τὴν πρὸς Θεὸν εὐχῶν ὁπλιζομένους μηκέθ' οἷός τε φέρειν, κλείνειν καὶ μεταίρειν ἀπὸ γῆς ὡς ἂν ἐνόμιζεν ἐνοχλοῦντας· Θεὸς δ' αὐτῷ καὶ τοῦτο πράττειν ἐγχειρεῖν συνεχώρει. ὡς ὁμοῦ γε αὐτὸς τῆς αὐτοῦ κατὰ προαίρεσιν μὴ εἴργοιτο πονηρίας· ἐκεῖνοί τε τῶν πολυτρόπων ἀγώνων ἤδη ποτὲ ἀπολάβοιεν τὰ βραβεῖα. ταύτῃ οὖν ἑνὸς δέοντος τὸν ἀριθμὸν τεσσαράκοντα, νεύματι τοῦ πανεστάτου Μαξιμίνου ἐν ἡμέρᾳ μιᾷ τὰς κεφαλὰς ἀποτέμνονται. ταῦτα μὲν οὖν τὰ κατὰ Παλαιστίνην ἐν ὅλοις ἔτεσιν ὀκτὼ συμπερανθέντα μαρτύρια, καὶ τοιοῦτος ὁ καθ' ἡμᾶς διωγμός. ἀρξάμενος μὲν ἀπὸ τῆς τῶν ἐκκλησιῶν καθαιρέσεως, εἰς μέγα δὲ προκόψας ἐν ταῖς κατὰ χρόνους τῶν ἀρχόντων ἐπαναστάσεσιν· ἐν αἷς πολυτρόποι καὶ πολυειδεῖς τῶν ὑπὲρ εὐσεβείας ἠθληκότων ἀγῶνες ἀνήριθμόν τι πλῆθος μαρτύρων κατὰ πᾶσαν ἐπαρχίαν συνεστήσαντο, ἐν τοῖς ἀπὸ Λιβύης καὶ δι' ὅλης Αἰγύπτου, Συρίας τε καὶ τῶν ἀπ' ἀνατολῆς καὶ κύκλῳ μέχρι τῶν κατὰ τὸ Ἰλλυρικὸν κλίμα παρατείνουσι. τὰ γάρ τοι ἐπέκεινα τῶν δεδηλωμένων, Ἰταλία πᾶσα καὶ Σικελία, Γαλλία τε καὶ ὅσα κατὰ δυόμενον ἥλιον ἐπὶ Σπανίαν Μαυριτανίαν τε καὶ Ἀφρικήν. οὐδ' ὅλοις ἔτεσι δυσὶ τοῖς πρώτοις τοῦ διωγμοῦ τὸν πόλεμον ὑπομείναντα, ταχίστης ἠξιώθησαν Ἐπισκοπῆς τε Θεοῦ καὶ εἰρήνης. τῆς οὐρανίου προνοίας, φειδοῖ τῆς τῶν ἀνδρῶν ἁπλότητος καὶ πίστεως ποιουμένης. ὃ γοῦν μὴ δ' ἱστόρηται ἐν τοῖς ἀνέκαθεν τῆς Ῥωμαίων ἀρχῆς, τοῦτο νῦν πρῶτον καθ' ἡμᾶς παρὰ πᾶσαν γέγονεν ἐλπίδα. διαιρεῖται μὲν γὰρ ἐπὶ τοῦ καθ' ἡμᾶς διωγμοῦ διχῇ τὰ τῆς βασιλείας· εἰρήνης δ' ἀπολαύουσιν οἱ ἐν θατέρῳ μέρει τοῦ προδεδηλωμένου κατοικοῦντες ἀδελφοί. τῶν ἀνὰ τὴν ἄλλην οἰκουμένην μυρίους ἐπὶ μυρίοις ἀγῶνας ὑπομεινάντων. ἀλλὰ γὰρ ὅτε καὶ τὴν καθ' ἡμᾶς Ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεων ἡ θεία χάρις ἐνεδείκνυτο, τότε δῆτα καὶ οἱ καθ' ἡμᾶς ἄρχοντες αὐτοὶ δὴ ἐκεῖνοι δι' ὧν πάλαι τὰ τῶν καθ' ἡμᾶς ἐνηργεῖτο πολέμων, παραδοξοτάτῳ γνώμῃ μεταβαλλόμενοι παλινῳδίαν ᾖδον. χρηστοῖς περὶ ἡμῶν προγράμμασιν καὶ ἡμέροις διατάγμασι τὴν καθ' ἡμῶν πυρκαϊὰν ἀποσβεννύντες· ἀναγραπτέα δὴ καὶ ἡ παλινῳδία.

Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν ἐν Παλαιστίνῃ μαρτυρησάντων τέλος.

A ad Deum precibus & ad pugnam paratos ferre non posset, interficere utpote sibi molestos atq; è medio tollere satagebat. Quod quidem Deus efficere illi permisit: partim ne ille à spontanea sua improbitate absterreretur, partim ut isti tot ac tantorum certaminum præmia tandem referrent. Sic igitur undequadraginta homines, jussu sceleratissimi Maximini uno eodemque die capite truncati sunt. Atque hæc sunt martyria quæ octo annorum spatio in Palæstina perpetrata fuerunt. Hujusmodi nostri temporis persecutio fuit: quæ cùm ab Ecclesiarum eversione sumpsisset initium, postmodum subsecutis vario tempore
B Rectorum infestationibus, longè ulteriùs progressa est. In quibus varia omnis generis certamina eorum qui pro pietate fortiter pugnaverunt, innumerabiles in singulis provinciis martyres præstiterunt: in Libya scilicet & per universam Ægyptum ac Syriam omnesque provinciæ quæ ab Oriente usq; ad tractum Illyrici quaquaversum protenduntur. Nam quæ ulterius sitæ sunt regiones, Italia videlicet tota & Sicilia; Gallia quoq; & quæcunq; ad Occasum Solis porriguntur, Hispania, Mauritania & Africa; cùm vix duobus primis perse-
C cutionis annis integris furorem belli expertæ essent, divini Numinis præsentissimum auxilium & pacem brevi sunt consecutæ; Dei scilicet providentia simplicitati illorum hominum ac fidei prospiciente. Porrò quod nunquam antea Imperio Rom. accidisse memoratur, id tunc primùm præter omnium opinionem evenit. In hac enim persecutione, quæ nostris temporibus grassata est, Imperium orbis Rom. in duas divisum est partes. Harum alteram quam paulò ante
D designavimus, quicunq; incolebant fratres, pace fruebantur. Quotquot verò in altera orbis Rom. parte degebant, innumera subinde certamina subierunt. Verùm simulatq; divina clementia nos propitio ac benigno vultu aspicere dignata est, statim Principes illi ipsi qui jampridem bellum adversus nos excitaverant; præter omnium spem mutatâ sententiâ palinodiam, ut dicitur, cecinerunt: clementibus edictis & benignis erga nos constitutionibus persecutionis adversus nostros conflatæ restinguentes incendium. Ipsam verò palinodiam à nobis reticeri non convenit.

*Explicit liber Eusebii Pamphili de Martyribus Palæstinæ.*